Ἔτι ἂν δω, καὶ θρω. ἄδωνις, ἄνθρωπος.

Ἔτι ἐν πω, καὶ σω, καὶ σκω. ἄμπωτις. ἀσωπὸς, ἀσκωλιάζειν.

§ ακθʹ. Ἀρχὴ τοῦ Β.

Τῆς δὲ βα μέσον, ἂν κη, καὶ κτη, τὸ η. βάκηλος, βακτηρία. ἐν δὲ δι, καὶ σι, τὸ ι. βαδίζω, βασιλεύς. Ἔτι ἂν βι. ἡγουμένου τοῦ ρ βάρβιτον. Ἄλλως δὲ, τὸ υ. βαβυλὼν, βακχυλίτης. εἰ μὴ πατρωνυμικόν. ἂν δὲ γω, τὸ μέγα. βαγώας.

Ἡ βε, πρὸ μὲν τοῦ β, καὶ λ, καὶ ρ, τὸ ε. βέβαιον, βέλος, βέρεθρον. μέσον τὸ ε, καὶ η. καὶ ο. βέλεμνον, βέβηλον, βελόνη. πλὴν τοῦ βέβαιον. πρὸ δὲ τοῦ ο, καὶ τ, τῇ αι βαιὸν, βαίτη.

Ἡ βδε, τῷ ε. βδέλλα, βδελυρός.

Ἡ βλε, πρὸ μὲν τοῦ π, τῷ ε. βλέπω. πρὸ δὲ τοῦ σ, τῇ αι. βλαισός.

Ἡ βρε, τῷ ε. βρέγμα. μέσον ἂν θυ, τὸ υ. βρενθύομαι. ἐν τη, τὸ η βρεντήσιον.

Ἡ βη πρὸ μὲν τοῦ λ, καὶ μ, καὶ ρ, καὶ τ, τῷ η. βηλὸς, βῆμα, βηρυτὸς, βήτλω. μέσον τὸ ι. βηρίνη. Πλὴν τοῦ βηρυτός. πρὸ δὲ τοῦ α, καὶ ο, καὶ κ, καὶ ν, τῷ ι. βία, βίος, βίκος, βινεῖν. Πλὴν τοῦ βύας, τῷ υ. μέσον τὸ αι, καὶ ο, βίαιον, βιοτή. Πλὴν τοῦ βιώσιμον.

Πρὸ δὲ τοῦ ω, καὶ θ, καὶ δισυμφώνου, τοῦ τε σσ, τῷ υ. βύω, βυθὸς, βύβλος, βύζειν, βύσσος, Πλὴν τοῦ βιθυνὸς, καὶ βίβλος, τῷ ι. καὶ βῆσσα τῷ η. καὶ βοιωτία